1 cf Lc 1,19 ‖ 2 cf Lc 2,4 sq; 3,23; Mt 1,16.18.20 ‖ 3 cf Jdc 5,24; 6,12; Rth 2,4; *cf 15* ‖ 4 *cf 15 sq* ‖ 5 cf Lc 1,13; 2,10; Mt 1,20; 28,10; Act 27,24; Gn 6,8; Jdc 6,23; Dn 10,12.19 | *cf 10 sq. 17;* Mt 1,18.23 ‖ 5/6 cf Is 7,14; Gn 16,11; Jdc 13,3.5; *cf 19 sq. 28 sqq* ‖ 6 cf Lc 1,15; Mt 1,21.23 (Is 7,14) | cf Lc 2,14; 1,76; 6,35; 8,28; Mc 5,7; *cf 19* ‖ 7/8 cf Is 9,6; 2 Sm 7,12-16; Mch 4,7; Dn 7,14; Heb 7,24 ‖ 8 cf Mt 1,25 ‖ 9 sq *cf 19. 25 sq* | cf Ex 40,35; Mc 9,7 et par *(= nr 161)* ‖ 10 cf Is 4,3; Ex 13,12; Lv 21,13 sq; Jo 10,36 ‖ 10 sq *cf 5. 22 sqq* ‖ 11 sq cf Gn 18,14; Mt 19,26 et par *(= nr 255)* ‖ 12 cf 1 Sm 25,41; 2 Rg 4,16; *cf 20 sq* | *cf 26 sq* | cf Jdc 6,21; Lc 2,15; Act 10,7; 12,10 ‖ 15 *cf 3* ‖ 15 sq *cf 4* ‖ 17 *cf 5* ‖ 19 *cf 9 sq* ‖ 19 *cf 6. 9;* Mt 1,21 ‖ 19 sq *cf 5/6* ‖ 20 sq *cf 12* ‖ 22 sqq *cf 10 sq* ‖ 25 sq *cf 9 sq* ‖ 26 sq *cf 12* ‖ 28 sqq *cf 5/6;* Mt 1,21

# 4. Maria bei Elisabeth

**Visitatio Mariae** | **Mary's Visit to Elizabeth**

| Matth. | Mark. | Luk. 1,39-56 | Joh. |
|---|---|---|---|

**Luk. 1,39-56**

39 ⸂Ἀναστᾶσα δὲ⸃ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ⸀ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα,
40 καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. 41 καὶ ἐγένετο ὡς ἤκουσεν ⸉τὸν ἀσπα-
σμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ⸊, ἐσκίρτησεν ⸆ τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ
Ἐλισάβετ, 42 καὶ ⸂ἀνεφώνησεν κραυγῇ⸃ μεγάλῃ καὶ εἶπεν⸆· εὐλογημένη σὺ ἐν γυναιξὶν καὶ εὐλογημένος ὁ
καρπὸς τῆς κοιλίας σου. 43 καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρὸς ⸀ἐμέ; 44 ἰδοὺ γὰρ ὡς
ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου.
45 καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου.
46 Καὶ εἶπεν ⸀Μαριάμ·
Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον,
47 καὶ ἠγαλλίασεν τὸ πνεῦμά μου ⸀ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου,
48 ὅτι ἐπέβλεψεν ⸆ ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.
ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαί,
49 ὅτι ἐποίησέν μοι ⸀μεγάλα ὁ δυνατός.
καὶ ἅγιον τὸ ⸁ὄνομα αὐτοῦ,
50 καὶ τὸ ἔλεος αὐτοῦ ⸂εἰς γενεὰς καὶ γενεὰς⸃
τοῖς φοβουμένοις αὐτόν.
51 Ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ,
διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν·
52 καθεῖλεν δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσεν ταπεινούς,
53 πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.
54 ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ,
μνησθῆναι ἐλέους,
55 καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν,
τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ⸂εἰς τὸν αἰῶνα⸃.
56 Ἔμεινεν δὲ Μαριὰμ σὺν αὐτῇ ⸀ὡς μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

**Protev. Jacobi 12,1–3** (sec. Pap. Bodmer V et ed. de Strycker): [1] Καὶ ἐποίησεν τὴν πορφύραν καὶ τὸ κόκκινον, καὶ ἀνήνεγκεν τῷ ἱερεῖ. Καὶ λαβὼν ὁ ἱερεὺς εὐλόγησεν αὐτὴν καὶ εἶπεν· Μαρία, ἐμεγάλυνεν [σε] Κύριος ὁ Θεὸς τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένη ἐν πάσαις ταῖς γενεαῖς τῆς γῆς. [2] Χαρὰν

**39** ⸂ και α. A 346* *al* r$^{1}$ | ⸀ επορευετο ℵ • **41** *⸉ 5 6 1–4* A C$^{2}$ W 33. 1006. 1342. 1506 𝔐 sy$^{h}$ co ¦ *txt* ℵ B C* D L Θ Ξ Ψ *f*$^{1.13}$ 565. 579. 892. 1424 *pc* latt | ⸆ (44) εν αγαλλιασει ℵ* 565$^{c}$ *pc* sy$^{hmg}$ sa$^{ms}$ bo$^{ms}$; (Hipp) Or • **42** ⸂ ανεφωνησεν φωνη A D Ψ *f*$^{1}$ 1006. 1342* 𝔐; Cyr ¦ ανεβοησεν φ. ℵ C F Θ *f*$^{13}$ 33. 892. 1342$^{c}$. 1424. 1506 *pc* ¦ *txt* B L W Ξ 565. 579; Or$^{pt}$ | ⸆ Μαριαμ sy$^{s.p}$ • **43** ⸀ με ℵ$^{2}$ A C D L W Ψ *f*$^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ* B Θ Ξ$^{vid}$ • **46** ⸀ Elisabeth a b l; Ir$^{lat}$ Or$^{lat.mss}$ Nic ¦ [– comm *cj*] • **47** ⸀ εν D lat; Ir$^{lat}$ • **48** ⸆ κυριος D • **49** ⸀ μεγαλεια ℵ$^{2}$ A C D$^{2}$ Θ Ξ Ψ *f*$^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 e ¦ *txt* ℵ* B D* L W lat; Or$^{lat}$ | ⸁ ελεος ℵ* • **50** ⸂ εις γενεας γενεων A C$^{2}$ D(*) Θ 33. 892. 1006 𝔐 (a b c) sy$^{h}$; Or$^{lat}$ ¦ εις γενεαν και γενεαν ℵ F Ψ *f*$^{1.13}$ 205. 579. 700. 1342. 1424. 1506. 2542 *al* it; Cyr ¦ απο γενεας εις γενεαν 565 *pc* (vg$^{cl}$) sa ¦ *txt* B C* L W Ξ vg bo • **55** ⸂ εως αιωνος C F Ψ *f*$^{1.13}$ 205. 700. 1342. 1424. 2542 *pm* aur vg$^{mss}$ • **56** ⸀ ωσει A C Θ *f*$^{13}$ 33. 892. 1006. 1342. 1506 𝔐 ¦ – D 69 *pc* it sa bo$^{pt}$; Or$^{lat}$ ¦ *txt* ℵ B L W Ξ Ψ *f*$^{1}$ 565 *pc*

*1* cf Act 8,27; Gn 22,3 | 2 Sm 2,1 || *2 cf 27* | *cf 28* || *3* Μαρία cf Lc 2,19, cet. loc. Μαριάμ | *cf 6;* Gn 25,22 | cf Lc 1,15.67 || *4* cf Dt 28,3 sq; Jdc 5,24; Jdth 13,18; Lc 11,27; *cf 27.29* || *5* cf Act 2,30; Ps 132,11 | cf 2 Sm 24,21; Ps 110,1; Sir 51,10; *cf 29* || *6 cf 3.29 sq* || *7 cf 12* | cf Act 27,25; Heb 11,11 || *9-24* cf 1 Sm 2,1-10 || *9* cf Lc 1,58; Act 5,13; 10,46; 19,17; *cf 27* || *10* cf Hab 3,18 (Is 61,10); Ps 35,9; 24,5; 25,5; Sir 51,1; Ps Sal 3,6; 17,3; 1 Tm 1,1; 2,3; 4,10; Tt 1,3; 2,10; 3,4 || *11* cf 1 Sm 1,11 (Ps 113,5 sq); Ps 31,8; Gn 29,32 | cf 1 Sm 9,16; 2 Sm 16,12; 2 Rg 14,26; Ps 9,14; 25,18; *cf 19* | cf Lc 1,38 || *12* cf Lc 5,10; Act 18,6 | *cf 7.31;* Lc 11,27 | cf Gn 30,13 || *13* cf Act 2,11; Dt 10,21; Ps 71,19; 126,2 sq | ὁ δυνατός cf Ps 45,4.6; 120,4; Zph 3,17 etc || *14* cf Ps 111,9 || *15/16* cf Ps 103,13.17; 89,2; Lc 1,58.72.78 || *17/18* cf Ps 89,11 (2 Sm 22,28); Ps 118,15; 18,28; Jr 32,17 (39,17 LXX) || *19* cf Ez 21,31 (Ps 147,6; Job 12,19; 5,11; 1 Sm 2,7); Sir 10,14; *cf 11;* cf Jc 4,6; 1 Pt 5,5 (Prv 3,34) || *20* cf Ps 107,9 (Ps 34,11; 1 Sm 2,5); Gn 31,42; Job 22,9 || *21/22* cf Is 41,8 sq; Ps 98,3 || *23/24* cf Mch 7,20; 2 Sm 22,51 (Gn 17,7; 18,18; 22,17) || *25 cf 31* || *27 cf 4.9;* cf Gn 12,2.3 || *27* cf Lc 1,36; *cf 2*

⟨δὲ⟩ λαβοῦσα Μαρία ἀπῄει πρὸς τὴν συγγενίδα αὐτῆς Ἐλισάβεδ καὶ ἔκρουσεν πρὸς τὴν θύραν. Καὶ ἀκούσασα ἡ Ἐλισάβεδ ἔρριψεν τὸ κόκκινον καὶ ἔδραμεν πρὸς τὴν θύραν καὶ ἤνοιξεν αὐτῇ καὶ εὐλόγησεν αὐτὴν καὶ εἶπεν· Πόθεν μοι ⟨τοῦτο⟩ ἵνα ἡ μήτηρ τοῦ Κυρίου ⟨μου⟩ ἔλθῃ πρὸς ἐμέ; Ἰδοὺ γὰρ τὸ ἐν ἐμοὶ ἐσκίρτησεν καὶ εὐλόγησέν σε. Ἡ δὲ Μαρία ἐπελάθετο τῶν μυστηρίων ὧν ἐλάλησεν Γαβριὴλ ὁ ἄγγελος. Καὶ ⸀ἠ⸀τένισεν εἰς τὸν οὐρανὸν καὶ εἶπεν· Τίς εἰμι ἐγὼ ὅτι ἰδοὺ πᾶσαι αἱ γυναῖκες τῆς γῆς μακαριοῦσίν με; [3]Καὶ ἐποίησεν τρεῖς μῆνας πρὸς τὴν Ἐλισάβεδ.

---

*28 cf 2/3* || *29 cf 4/5* || *29sq cf 6* || 30 cf Lc 1,31 sq; || *31 cf 12* | *cf 25*

## 5. Geburt Johannes des Täufers

**Nativitas Ioannis** — **The Birth of John the Baptist**

| Matth. | Mark. | Luk. 1, 57-80 | Joh. |
|---|---|---|---|

**Luk. 1, 57-80**

[57]Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτὴν καὶ ἐγέννησεν υἱόν. [58]καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνεν κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς καὶ συνέχαιρον αὐτῇ. [59]Καὶ ἐγένετο ἐν τῇ ⸂ἡμέρᾳ τῇ ὀγδόῃ⸃ ἦλθον περιτεμεῖν τὸ παιδίον καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν. [60]καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν· οὐχί, ἀλλὰ κληθήσεται ⸆ Ἰωάννης. [61]καὶ εἶπαν πρὸς αὐτὴν ὅτι οὐδείς ἐστιν ἐκ τῆς συγγενείας σου ὃς καλεῖται ⸂τῷ ὀνόματι τούτῳ⸃. [62]ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτό. [63]καὶ αἰτήσας πινακίδιον ἔγραψεν °λέγων· Ἰωάννης ἐστὶν ⸆ ὄνομα αὐτοῦ. ⸂καὶ ἐθαύμασαν πάντες. [64]ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα⸃ αὐτοῦ ⸆, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν. [65]⸂Καὶ ἐγένετο⸃ ἐπὶ πάντας φόβος ⸆ τοὺς περιοικοῦντας αὐτούς, καὶ ἐν °ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο °¹πάντα τὰ ῥήματα ταῦτα, [66]καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν λέγοντες· τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ °γὰρ χεὶρ κυρίου °¹ἦν μετ' αὐτοῦ.

[67]Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου καὶ ⸂ἐπροφήτευσεν λέγων⸃·

[68]Εὐλογητὸς °κύριος ὁ θεὸς τοῦ Ἰσραήλ,
ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ,
[69]καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν
ἐν ⸆ οἴκῳ Δαυὶδ ⸆ παιδὸς αὐτοῦ,
[70]καθὼς ἐλάλησεν διὰ στόματος ⸂τῶν ἁγίων ἀπ' αἰῶνος προφητῶν αὐτοῦ⸃,
[71]σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς,
[72]ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν
καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ,
[73]ὅρκον ὃν ὤμοσεν πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν,
τοῦ δοῦναι ἡμῖν [74]ἀφόβως ἐκ χειρὸς ⸀ἐχθρῶν ῥυσθέντας

---

**59** ⸂*3 1* A Θ Ψ $f^1$ 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ B C (D) L W Ξ $f^{13}$ 33. 565. 579(*). 892 *pc* • **60** ⸆ το ονομα αυτου C* D *pc* bo[pt] • **61** ⸂ το ονομα τουτο D • **63** ° D 1506 *pc* e sy[s] bo[ms] | ⸆ το ℵ A B² C D W Θ Ψ $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 ¦ *txt* 𝔓⁴ B* L Ξ 565. 579. 700 *pc* • **63.64** ⸂ (Mc 7,35) και εθαυμασαν ... παραχρημα και ελυθη ο δεσμος της γλωσσης $f^1$ *pc* ¦ και παραχρημα ελυθη η γλωσση αυτου και εθαυμασαν παντες· ανεωχθη δε το στομα D a b vg[ms] (sy[s]) • **64** ⸆ διηρθρωθη 251 • **65** ⸂ εγενετο δε ℵ* A *al* sa[mss] | ⸆ τους ακουοντας ταυτα και Θ arm | ° bo; Or | °¹ ℵ* L 1424 *pc* sy[s.p] bo[mss] • **66** ° A C² Θ $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 sy[p.h] ¦ *txt* 𝔓⁴ ℵ B C* D L W Ψ 565 *pc* latt sy[hmg] co | °¹ D it vg[ms] sy[s] • **67** ⸂ ειπεν D • **68** ° 𝔓⁴ W it vg[st] sy[s] sa[mss]; Ir Cyp • **69** ⸆ τω A Θ Ψ 1006. 1342. 1506 𝔐 ¦ *txt* 𝔓⁴ [vid] ℵ B C D L W $f^{1.13}$ 33. 565. 579. 700. 892 *pc* | ⸆ του A C Θ Ψ $f^{1.13}$ 33. 1006. 1342. 1506 𝔐 ¦ *txt* 𝔓⁴ ℵ B D L W 565. 579. 892 *pc* • **70** ⸂ *2 5 6 1 3 4* D it (co); Ir[lat] ¦ *1-4 6 5* ℵ W; Eus ¦ των αγ. των απ αι. προφ. αυ. A C Θ Ψ $f^1$ 892. 1006. 1342. 1506 𝔐 ¦ *txt* 𝔓⁴ B L Δ 0130 $f^{13}$ 33. 579 *pc* vg • **74** ⸀ εχθρων ημων D 33 *pc*; Or[pt] ¦ των εχθρων ημων A C Θ Ψ 0177. 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ B L W (0130) $f^{1.13}$ 565. 892 *pc* β e; Ir

---

[1]cf Lc 2,6 sq; Gn 25,24 || [2]cf 1Sm 12,24; Gn 19,19; Ps 126,2 sq | cf Lc 1,14; 15,6.9; Gn 21,6 || [3]cf Lc 2,21; Lv 12,3; Gn 17,10.12; 21,3 sq; Ph 3,5 || [5]ἐνένευον hapaxl. NT || [6]ἔγραψεν λέγων cf 2 Rg 10,6 || [7]cf Dn 10,16 || [8]cf Lc 1,12.29; 7,16; Act 2,43; 5,5; 19,17 | διελαλεῖτο hic et 6,11 sol. || [9]cf Gn 24,66; Lc 2,19.51; Act 5,32 | 1Sm 21,13; cf Lc 9,44; 21,14 || [10]cf 1Chr 4,10; Act 11,21; χεὶρ κυρίου Lc sol. || [11]Lc 1,41 || [12]cf Ps 41,14; 72,18; 89,53; 106,48 || [13]cf 29; Lc 7,16; 19,44; Act 15,14 | cf Ps 111,9; Lc 24,21; Rth 1,6; Sir 46,14.17 || [14/15]cf Ps 18,3 (2Sm 22,3); 132,17 (1Sm 2,10); Ez 29,21; Ps 89,25; Sir 51,12 (hebr.) || [15]cf Lc 1,54; Act 4,25 || [16]cf 2 Rg 17,23; Act 1,16; 3,18.21; 4,25 | ἀπ' αἰῶνος Lc sol., hic et Act 3,21; 15,18 | cf Act 3,21; Rm 1,2 || [17]cf Ps 106,10; 18,18 (2Sm 22,18) || [18]cf Mch 7,20; Lc 1,54 sq; Act 3,25 || [19]cf Ps 105,8; 106,45; Lv 26,42; Ex 2,24; Gn 17,7 || [20/21]cf Jr 11,5; Mch 4,10; 7,20; Gn 22,16 sq; 26,3; Ps 105,9 sqq

| Matth. | Mark. | [Luk. 1,57-80] | Joh. |
|---|---|---|---|

**[Luk. 1,57-80]**

λατρεύειν αὐτῷ 75 ἐν ὁσιότητι καὶ δικαιοσύνῃ
ἐνώπιον αὐτοῦ ⸀πάσαις ταῖς ἡμέραις⸁ ⸆ἡμῶν.
76 Καὶ σὺ °δέ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ·
προπορεύσῃ γὰρ ⸀ἐνώπιον κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ,
77 τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ
ἐν ἀφέσει ἁμαρτιῶν ⸀αὐτῶν,
78 διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν,
ἐν οἷς ⸀ἐπισκέψεται ἡμᾶς ἀνατολὴ ἐξ ὕψους,
79 ἐπιφᾶναι ⸆ τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις,
τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.
80 Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

*(nr. 7 2,1-7 p. 10)*

**1. Clem. ad Cor. 48,4:** Πολλῶν οὖν πυλῶν ἀνεῳγυιῶν ἡ ἐν δικαιοσύνῃ αὕτη ἐστὶν ἡ ἐν Χριστῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες καὶ κατευθύνοντες τὴν πορείαν αὐτῶν »ἐν ὁσιότητι καὶ δικαιοσύνῃ«, ἀταράχως πάντα ἐπιτελοῦντες.

75 ⸀πασας τας ημερας ℵ A C D Θ Ψ 0177 $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐; Or ¦ *txt* $𝔓^{4vid}$ B L W 565. 579 *pc* | ⸆της ζωης H Θ $f^{1.13}$ 205. 700. 1006. 1342. 1424. 2542 *pm* $sy^{s}$; Or • 76 °A Θ Ψ $f^{1.13}$ 892. 1006. 1342. 1506 𝔐 lat sy ¦ *txt* $𝔓^{4}$ ℵ B C D L W 0177. 579 *pc* | ⸀προ προσωπου A C D L Θ Ψ $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 sy ¦ *txt* $𝔓^{4}$ ℵ B W 0177 *pc*; Or • 77 ⸀ημων A C Θ Ψ $f^{1}$ 205. 579. 1006. 1342 *al* $vg^{ms}$ ¦ αυτου W 0177. 565 *pc* ¦ – 983. 2542 *pc* $vg^{ms}$ $bo^{pt}$ • 78 ⸀επεσκεψατο $ℵ^{2}$ A D Ξ Ψ $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 latt $sy^{h}$; $Ir^{lat}$ ¦ *txt* ℵ* B L W Θ 0177 *pc* $sy^{s.p}$ co • 79 ⸆φως D ($r^{1}$)

22 cf Eph 4,24; *cf 35* || 24 cf Lc 1,32; 20,6; Mt 14,5 (21,26); Mc 11,32 || 25 cf Lc 1,17; 7,26sq; Mt 11,10; Mc 1,2sq; Jo 1,23; 3,28 | cf Ml 3,1; Is 40,3; 1Rg 18,46 || 27 cf Lc 3,3; 24,47; Mt 26,28; Mc 1,4; Act 2,38; 5,31; 10,43; 13,38; 26,18; Kol 1,14; Eph 1,7 || 29 *cf 13* | cf Jr 23,5 (LXX); Zch 3,8; 6,12; Is 60,1sq; Ml 4,2 (= 3,20); Nu 24,17 || 30 cf Is 9,1; 42,7; Ps 107,10; Mt 4,16 || 31 cf Is 59,8; Rm 3,17; Act 16,17; 1Th 3,11 || 32 cf Jdc 13,24sq; 1Sm 2,26; Gn 21,8.20; Lc 2,40.52 || 35 *cf 22*

# 6. Stammbaum Jesu

**Genealogia Jesu** *(cf. nr. 19)* **The Genealogy of Jesus**

| Matth. 1,2-17 | Mark. | Luk. 3,23-38 *(nr. 19, p. 28)* | Joh. |
|---|---|---|---|

**Matth. 1,2-17**

*(nr. 1 1,1 p. 1)*

2 Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ,
Ἰσαὰκ δὲ ἐγέννησεν τὸν Ἰακώβ,
Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ,

**Luk. 3,23-38**
*(nr. 19, p. 28)*

⸂23 Καὶ αὐτὸς ἦν Ἰησοῦς ⸉⸀ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα⸊, ὢν ⸉υἱός, ὡς ἐνομίζετο⸊, Ἰωσὴφ ⸆

*[ord. invers.]*

| | |
|---|---|
| [34 Ἀβραάμ] | ⸋τοῦ Ἠλὶ |
| [Ἰσαάκ] | 24 ⸋1 τοῦ Μαθθὰτ |
| [Ἰακώβ] | τοῦ Λευὶ⸌1 |
| | τοῦ Μελχὶ |

**Luk.:** 23-31 ⸂ην δε Ιησους ως ετων λ' αρχομενος ως ενομιζετο ειναι υιος Ιωσηφ του Ιακωβ του Μαθθαν του Ελεαζαρ του Ελιουδ του Ιαχιν του Σαδωκ του Αζωρ του Ελιακιμ του Αβιουδ του Ζοροβαβελ του Σαλαθιηλ του Ιεχονιου του Ιωακιμ του Ελιακιμ του Ιωσια του Αμως του Μανασση του Εζεκια του Αχας του Ιωαθαν του Οζια του Αμασιου του Ιωας του Οχοζιου του Ιωραμ του Ιωσαφαδ του Ασαφ του Αβιουδ του Ροβοαμ του Σολομων του Δαυιδ D • 23 ⸉ωσει ετ. τριακ. αρχ. ειναι (– E H G 0233. 565. 2542) Θ $sy^{hmg}$ ¦ αρχ. ειναι ως ετ. τριακ. $f^{13}$ 1424 *pc* | ⸀ερχομενος 700; Ju Cl (Ir) ¦ – *pc* e f $sy^{s.p}$ sa | ⸉*2 3 1* A Θ 0102 $f^{13}$ 33. 1006. 1342. 1506 𝔐 $sy^{h}$ ¦ *txt* $𝔓^{4}$ ℵ B L W Ψ 070 $f^{1}$ 205. 892 *pc* | ⸆του Ιακωβ (E *sed p.* Ηλι) Θ *pc* (*cf* ⸂D) • 23-38 ⸋W 579 ¦ *om.* τ. Ηλι τ. Μαθ. c; $Ir^{lat}$ • 24 ⸋1 $Ir^{lat}$ Africanus apud Eus

1 cf Act 1,1 || 2 cf Lc 4,22; Mt 13,55 et par *(= nr 139)*; Jo 1,45; 6,42 || 3-17(Mt) *cf 43-57 (Lc) ord. invers.* || 3(Mt) cf Gn 21,3.12; 1Chr 1,34 || 4(Mt) cf Gn 25,26; 1Chr 1,34 || 5-17(Mt) *cf 83-90* || 5(Mt) cf Gn 29,35; 29,31-30,24; 49,10; Heb 7,14

| **[Matth. 1, 2-17]** | Mark. | [Luk. 3, 23-38] | | Joh. |
|---|---|---|---|---|
| [3] Ἰούδας δὲ ἐγέννησεν τὸν Φάρες καὶ τὸν ⸀Ζάρα ἐκ τῆς | | [[33] Ἰούδα] | τοῦ Ἰανναὶ | |
| Θαμάρ, | | | τοῦ Ἰωσὴφ | |
| Φάρες δὲ ἐγέννησεν τὸν Ἑσρώμ, | | [Φάρες] | [25] τοῦ Ματταθίου | |
| Ἑσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ, | | [Ἑσρώμ, Ἀρνί] | τοῦ Ἀμὼς | |
| [4] Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ, | | [Ἀδμίν] | τοῦ Ναοὺμ | |
| Ἀμιναδὰβ δὲ ἐγέννησεν τὸν Ναασσών, | | [Ἀμιναδάβ] | τοῦ Ἑσλὶ | |
| Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών, | | [[32] Ναασσών] | τοῦ Ναγγαὶ | |
| [5] Σαλμὼν δὲ ἐγέννησεν τὸν ⸀Βόες ἐκ τῆς Ῥαχάβ, | | [Σαλά] | [26] τοῦ Μάαθ | |
| ⸀Βόες δὲ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ, | | [Βόος] | τοῦ Ματταθίου | |
| Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί, | | [Ἰωβήδ] | τοῦ Σεμεΐν | |
| [6] Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν Δαυὶδ τὸν βασιλέα. | | [Ἰεσσαί] | τοῦ Ἰωσὴχ | |
| Δαυὶδ δὲ ⸆ ἐγέννησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου, | | [[31] Δαυίδ] | τοῦ Ἰωδὰ | |
| [7] Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥοβοάμ, | | [Ναθάμ] | [27] τοῦ Ἰωανὰν | |
| Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν ⸀Ἀβιά, | | [Ματταθά] | τοῦ Ῥησὰ | |
| ⸀Ἀβιὰ δὲ ἐγέννησεν τὸν ⸁Ἀσάφ, | | [Μεννά] | τοῦ Ζοροβαβὲλ | |
| [8] ⸁Ἀσὰφ δὲ ἐγέννησεν τὸν ⸀Ἰωσαφάτ, | | [Μελεά] | τοῦ Σαλαθιὴλ | |
| ⸀Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν Ἰωράμ, | | [[30] Ἐλιακίμ] | τοῦ Νηρὶ | |
| Ἰωρὰμ δὲ ἐγέννησεν ⸆ τὸν Ὀζίαν, | | [Ἰωνάμ] | [28] τοῦ Μελχὶ | |
| [9] Ὀζίας δὲ ἐγέννησεν τὸν ⸀Ἰωαθάμ, | | [Ἰωσήφ] | τοῦ Ἀδδὶ | |
| ⸀Ἰωαθὰμ δὲ ἐγέννησεν τὸν ⸁Ἀχάζ, | | [Ἰούδα] | τοῦ Κωσὰμ | |
| ⸁Ἀχὰζ δὲ ἐγέννησεν τὸν Ἑζεκίαν, | | [Συμεών] | τοῦ ⸀Ἐλμαδὰμ | |
| [10] Ἑζεκίας δὲ ἐγέννησεν τὸν ⸀Μανασσῆ, | | [[29] Λευί] | τοῦ Ἢρ | |
| ⸁Μανασσῆς δὲ ἐγέννησεν τὸν ⸀¹Ἀμώς, | | [Μαθθάτ] | [29] τοῦ Ἰησοῦ | |
| ⸀¹Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσίαν, | | [Ἰωρίμ] | τοῦ Ἐλιέζερ | |
| [11] Ἰωσίας δὲ ἐγέννησεν ⸆ τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς | | [Ἐλιέζερ, Ἰησοῦ] | τοῦ Ἰωρὶμ | |
| αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. | | [[28] Ἤρ, Ἐλμαδάμ] | τοῦ Μαθθὰτ | |
| [12] Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννη- | | [Κωσάμ, Ἀδδί] | τοῦ Λευὶ | |
| σεν τὸν Σαλαθιήλ, | | [Μελχί, [27] Νηρί] | [30] τοῦ Συμεὼν | |
| Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζοροβαβέλ, | | [Σαλαθιήλ] | τοῦ Ἰούδα | |
| [13] Ζοροβαβὲλ δὲ ἐγέννησεν τὸν Ἀβιούδ, | | [Ζοροβαβέλ] | τοῦ Ἰωσὴφ | |
| Ἀβιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακίμ, | | [Ῥησά, Ἰωανάν] | τοῦ Ἰωνὰμ | |
| Ἐλιακὶμ δὲ ἐγέννησεν τὸν Ἀζώρ, | | [[26] Ἰωδά, Ἰωσήχ] | τοῦ Ἐλιακὶμ | |
| [14] Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ, | | [Σεμεΐν, Ματταθίου] | [31] τοῦ Μελεὰ | |
| Σαδὼκ δὲ ἐγέννησεν τὸν ⸀Ἀχίμ, | | [Μάαθ, [25] Ναγγαί] | ⸋¹ τοῦ Μεννὰ⸌ | |
| ⸀Ἀχὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ, | | [Ἑσλί, Ναούμ] | τοῦ Ματταθὰ | |
| [15] Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλεάζαρ, | | [Ἀμώς, Ματταθίου] | τοῦ ⸀Ναθὰμ | |

**Matth.:** 3 ⸀Ζαρε 𝔓¹ B mae • 5 ⸀*bis* Βοοζ L (W) $f^{1.13}$ 892. 1006. 1342. 1506 𝔐 lat sy^p; Epiph ¦ Βοος C (D^Luc) 33 *pc* g^1* ¦ *txt* 𝔓¹ ℵ B k co • 6 ⸆ο βασιλευς C L W 33. 892. 1006. 1342. 1506 𝔐 lat sy^h ¦ *txt* 𝔓¹ ℵ B $f^{1.13}$ 205. 579. 700 *pc* g¹ k vg^mss sy^s.c.p co • 7 ⸀*bis* Αβιουδ (D^Luc) $f^{13}$ *pc* it (sy^hmg) • 7.8 ⸁*bis* Ασα L W 0297^vid. 33. 892. 1006. 1342 𝔐 (a) f ff¹ vg sy; Epiph ¦ *txt* 𝔓^1 vid ℵ B C (D^Luc) $f^{1.13}$ 205. 700. 1506 *pc* it (sy^hmg) co • 8 ⸀*bis* -φαδ (D^Luc) | ⸆τον Οχοζιαν, Ο-σιας δε εγενν. τον Ιωας, Ι. δε εγενν. τον Αμασιαν, Α-ιας δε εγενν. (D^Luc) sy^c • 9 ⸀*bis* -θαν D^Luc Δ | ⸁*bis* Αχας ℵ (* -αζ¹) C (D^Luc) g^1* (k) q mae bo^ms • 10 ⸀-σσην Δ 0297^vid. 983 *pc* | ⸁-σση ℵ¹ B | ⸀¹*bis* Αμων L W 0297^vid. $f^{13}$ 892. 1006. 1342. 1506 𝔐 lat sy mae ¦ *txt* ℵ B C (D^Luc) Δ Θ $f^1$ 33. 205 *pc* it vg^mss sa bo • 11 ⸆τον Ιωακιμ, Ι. δε εγενν. Θ $f^1$ 33. 205. 1006. 1342^vid *al* sy^h**; (Ir^lat) ¦ *ord. invers.* του Ιεχονιου του Ιωακιμ του Ελιακιμ του Ιωσια D^Luc • 14 ⸀*bis* Αχιν (W) Δ $f^1$ 205 sy^s.c.p ¦ Ιαχιν D^Luc

**Luk.:** 23-31 ⸉ *et* 23-38 ⸋ *v. p.* 7 • 28 ⸀Ελμωδαμ A Θ Ψ 0102 $f^{1.(13)}$ 892. 1006. 1342 𝔐 aur f q sy^h ¦ Ελμασαμ 𝔓⁴ ¦ *txt* ℵ B L (070). 33. 1424. 1506 *pc* lat • 31 ⸋¹A | ⸀Ναθαν ℵ² A L Θ Ψ $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 sy bo ¦ *txt* 𝔓⁴ ℵ* B 1582 *pc* it

*7/8 (Mt)* cf Gn 38,29sq ‖ *9-17 (Mt)* cf *91-98* ‖ *18-35 (Mt)* cf *99-108* ‖ *18 (Mt)* cf 2Sm 12,24 ‖ *21-42 (Lc)* cf *99-108* ‖ *21/22 (Lc)* cf *35 (Mt)*; Esr 3,2 ‖ *31 (Mt)* cf 2Rg 23sq; 1Esr 1,32 ‖ *35 (Mt)* cf *21/22 (Lc)*; Esr 3,2 ‖ *42 (Lc)* cf 2Sm 5,14 etc

| [Matth. 1,2-17] | Mark. | [Luk. 3,23-38] | | Joh. |
|---|---|---|---|---|
| Ἐλεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν, | | [24 Ἰωσήφ, Ἰανναί, Μελχί, Λευί] | τοῦ Δαυὶδ⸃ | |
| Ματθὰν δὲ ἐγέννησεν τὸν Ἰακώβ, | | [Μαθθάτ, 23 Ἡλί] | 32 τοῦ Ἰεσσαὶ | |
| 16 Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ ⸂τὸν ἄνδρα Μαρίας, ἐξ | | [Ἰωσήφ] | τοῦ ⸀Ἰωβὴδ | |
| ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος χριστός⸃. | | [Ἰησοῦς] | τοῦ ⸁Βόος | |
| | | | τοῦ ⸀¹Σαλὰ | |
| | | | τοῦ Ναασσὼν | |
| | | | 33 ⸂τοῦ Ἀμιναδὰβ | |
| | | | τοῦ Ἀδμὶν | |
| | | | τοῦ Ἀρνὶ⸃ | |
| | | | τοῦ ⸀Ἑσρὼμ | |
| | | | □¹τοῦ Φάρες⸌ | |
| | | | τοῦ Ἰούδα | |
| | | | 34 τοῦ Ἰακὼβ | |
| | | | τοῦ Ἰσαὰκ | |
| | | | τοῦ Ἀβραὰμ | |
| | | | τοῦ Θάρα | |
| | | | τοῦ Ναχὼρ | |
| | | | 35 τοῦ ⸀Σεροὺχ | |
| | | | τοῦ Ῥαγαὺ | |
| | | | τοῦ ⸁Φάλεκ | |
| | | | τοῦ Ἕβερ | |
| | | | τοῦ Σαλὰ | |
| | | | 36 ⸂τοῦ Καϊνὰμ⸃ | |
| | | | τοῦ Ἀρφαξὰδ | |
| | | | τοῦ Σὴμ | |
| | | | τοῦ Νῶε | |
| | | | τοῦ Λάμεχ | |
| | | | 37 τοῦ Μαθουσαλὰ | |
| | | | τοῦ Ἑνὼχ | |
| | | | τοῦ ⸀Ἰάρετ | |
| | | | τοῦ ⸁Μαλελεὴλ | |
| | | | τοῦ ⸀¹Καϊνὰμ | |
| | | | 38 τοῦ Ἐνὼς | |
| | | | τοῦ Σὴθ | |

**Matth.:** **16** ⸂ ω μνηστευθεισα παρθενος (– q) Μαριαμ εγενν. Ιησουν τον λεγομενον χριστον Θ $f^{13}$ it ¦ , Ιωσηφ, ω μν-θεισα ην Μ. παρθ., εγενν. Ι. τ. λ. χρ. sy$^{s}$ ¦ ω μν ην Μ. παρθ., ἣ ετεκεν Ι. χρ. sy$^{c}$ ¦ τον μν-σαμενον Μ-μ (ω μν-θεισα Μ. Dial$^{2}$), εξ ης εγεννηθη ο χριστος ο υιος του θεου (Ι. ο λεγ. χρ. Dial$^{2}$) Dial. Tim. et Aqu.$^{2 et 3}$ ¦ *ut txt, sed* + και Ιωσηφ εγενν. τ. Ι. τ. λεγ. χρ. Dial$^{1}$ ¦ *txt* 𝔓$^{1}$ ℵ B C L W ($f^{1}$) 33. 892. 1006. 1506 𝔐 aur f ff$^{1}$ vg sy$^{p.h}$ co; Tert

**Luk.:** **23-31** ⸂ *et* **23-38** □ *v. p.* 7 ● **32** ⸀Ιωβηλ ℵ* B 1506 sy$^{s}$ ¦ Ωβηλ D* ¦ Ωβηδ D$^{c}$ Θ $f^{1}$ 1342 𝔐 lat sy$^{h}$ ¦ *txt* ℵ$^{2}$ A L Δ Ψ $f^{13}$ 33. 205. 209. 892. 1424 *al* c | ⸁Βοοζ Θ $f^{1.13}$ 892. 1006. 1342. 1506 𝔐 lat ¦ – N* ¦ *txt* ℵ A B D L Ψ 33. 69. 565. 788 *al* it | ⸀¹Σαλμων ℵ$^{2}$ A D L Θ Ψ 0102 ($f^{1.13}$) 33. 892. 1006. 1342. (1506) 𝔐 lat sy$^{p.h}$ bo ¦ *txt* 𝔓$^{4}$ ℵ* B sy$^{s}$ bo$^{mss}$ ● **33** ⸂ *3–6* B ¦ τ. Αμιναδαβ τ. Αραμ A D E G H 33. 565. (1424) *pm* lat sy$^{p}$ ¦ τ. Αμιναδαβ τ. Αραμ τ. Ιωραμ Δ Ψ 205. 209. 700. (⸉ 892). 1006. 1342. (1506). 2542 *pm* b e (sy$^{h}$) ¦ τ. Αμιναδαβ τ. Αραμ τ. Αδμι τ. Αρνι Θ (0102, $f^{1}$) *pc* ¦ τ. Αδαμ τ. Αδμιν τ. Αρνι ℵ* 69 *pc* sa *et v.l. al* ¦ *txt* 𝔓$^{4}$ ℵ$^{2}$ L $f^{13}$ *pc* bo | ⸀-ρων B | □¹A ● **35** ⸀Σερουκ D | ⸁Φαλεγ A E G H 0102 $f^{1.13}$ 565. 700 *pm* ¦ Φαλεχ 1424 *pc* bo$^{pt}$ ● **36** ⸂ τ. -ναν A Θ Ψ 0102 $f^{13}$ 892. 1006. 1342 𝔐 sy$^{p.h}$ sa$^{ms}$ bo$^{pt}$ ¦ – 𝔓$^{75 vid}$ D ¦ *txt* ℵ B L $f^{1}$ 33. 788 *pc* ● **37** ⸀-εδ B$^{2}$ D L $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 vg sy sa$^{mss}$ bo$^{pt}$ ¦ -εθ A Θ Ψ 565 *pc* b c r$^{1}$ bo$^{pt}$ ¦ *txt* 𝔓$^{4vid.75vid}$ ℵ B* a aur l q | ⸁Μελ- ℵ* A $f^{13}$ *pc* | ⸀¹-ναν A B D Ψ $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 sy sa$^{mss}$ bo$^{pt}$ ¦ *txt* 𝔓$^{75vid}$ ℵ L Θ

*43-57(Lc)* cf *83-90; 1 Chr 1,34; 3-17 (Mt) ord. invers.* || *43-53(Lc)* cf *91-98* || *46(Mt)* cf Mt 27,17.22 || *54* cf Gn 29,35 || *55* cf Gn 25,26; 1 Chr 1,34 || *56* cf Gn 21,3.12 || *55-67* cf Gn 11,10-26; 1 Chr 1,17-27 || *67-77* cf Gn 5,1-32; 4,25 sq; 1 Chr 1,1-4

| [Matth. 1,2-17] | Mark. | [Luk. 3,23-38] | Joh. |
|---|---|---|---|
| 17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες. | | τοῦ Ἀδὰμ τοῦ θεοῦ.⸃ | |

**1. Chron. 2,1–15:** 1 Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ισραηλ· Ρουβην, Συμεων, Λευι, Ιουδα, Ισσαχαρ, Ζαβουλων, 2 Δαν, Ιωσηφ, Βενιαμιν, Νεφθαλι, Γαδ, Ασηρ. 3 Υἱοὶ Ιουδα· Ηρ, Αυναν, Σηλων, τρεῖς· ἐγεννήθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς Σαυας τῆς Χαναανίτιδος. καὶ ἦν Ηρ ὁ πρωτότοκος Ιουδα πονηρὸς ἐναντίον κυρίου, καὶ ἀπέκτεινεν αὐτόν. 4 καὶ Θαμαρ ἡ νύμφη αὐτοῦ ἔτεκεν αὐτῷ τὸν Φαρες καὶ τὸν Ζαρα. πάντες υἱοὶ Ιουδα πέντε. 5 υἱοὶ Φαρες· Αρσων καὶ Ιεμουηλ. 6 καὶ υἱοὶ Ζαρα· Ζαμβρι καὶ Αιθαν καὶ Αιμαν καὶ Χαλχαλ καὶ Δαρα, πάντες πέντε. 7 καὶ υἱοὶ Χαρμι· Αχαρ ὁ ἐμποδοστάτης Ισραηλ, ὃς ἠθέτησεν εἰς τὸ ἀνάθεμα. 8 καὶ υἱοὶ Αιθαν· Αζαρια. – 9 καὶ υἱοὶ Εσερων, οἳ ἐτέχθησαν αὐτῷ· ὁ Ιραμεηλ καὶ ὁ Ραμ καὶ ὁ Χαλεβ καὶ Αραμ. 10 καὶ Αραμ ἐγέννησεν τὸν Αμιναδαβ, καὶ Αμιναδαβ ἐγέννησεν τὸν Ναασσων ἄρχοντα τοῦ οἴκου Ιουδα, 11 καὶ Ναασσων ἐγέννησεν τὸν Σαλμων, καὶ Σαλμων ἐγέννησεν τὸν Βοος, 12 καὶ Βοος ἐγέννησεν τὸν Ωβηδ, καὶ Ωβηδ ἐγέννησεν τὸν Ιεσσαι, 13 καὶ Ιεσσαι ἐγέννησεν τὸν πρωτότοκον αὐτοῦ Ελιαβ· Αμιναδαβ ὁ δεύτερος, Σαμαα ὁ τρίτος, 14 Ναθαναηλ ὁ τέταρτος, Ραδδαι ὁ πέμπτος, 15 Ασομ ὁ ἕκτος, Δαυιδ ὁ ἕβδομος.

**Ruth 4,12–22:** 12 Καὶ γένοιτο ὁ οἶκός σου ὡς ὁ οἶκος Φαρες, ὃν ἔτεκεν Θαμαρ τῷ Ιουδα, ἐκ τοῦ σπέρματος, οὗ δώσει κύριός σοι ἐκ τῆς παιδίσκης ταύτης. 13 καὶ ἔλαβεν Βοος τὴν Ρουθ, καὶ ἐγενήθη αὐτῷ εἰς γυναῖκα, καὶ εἰσῆλθεν πρὸς αὐτήν, καὶ ἔδωκεν αὐτῇ κύριος κύησιν, καὶ ἔτεκεν υἱόν. 14 καὶ εἶπαν αἱ γυναῖκες πρὸς Νωεμιν Εὐλογητὸς κύριος, ὃς οὐ κατέλυσέ σοι σήμερον τὸν ἀγχιστέα, καὶ καλέσαι τὸ ὄνομά σου ἐν Ισραηλ, 15 καὶ ἔσται σοι εἰς ἐπιστρέφοντα ψυχὴν καὶ τοῦ διαθρέψαι τὴν πολιάν σου, ὅτι ἡ νύμφη σου ἡ ἀγαπήσασά σε ἔτεκεν αὐτόν, ἥ ἐστιν ἀγαθή σοι ὑπὲρ ἑπτὰ υἱούς. 16 καὶ ἔλαβεν Νωεμιν τὸ παιδίον καὶ ἔθηκεν εἰς τὸν κόλπον αὐτῆς καὶ ἐγενήθη αὐτῷ εἰς τιθηνόν. 17 καὶ ἐκάλεσαν αὐτοῦ αἱ γείτονες ὄνομα λέγουσαι Ἐτέχθη υἱὸς τῇ Νωεμιν· καὶ ἐκάλεσαν τὸ ὄνομα αὐτοῦ Ωβηδ· οὗτος πατὴρ Ιεσσαι πατρὸς Δαυιδ. 18 Καὶ αὗται αἱ γενέσεις Φαρες· Φαρες ἐγέννησεν τὸν Εσρων, 19 Εσρων δὲ ἐγέννησεν τὸν Αρραν, καὶ Αρραν ἐγέννησεν τὸν Αμιναδαβ, 20 καὶ Αμιναδαβ ἐγέννησεν τὸν Ναασσων, καὶ Ναασσων ἐγέννησεν τὸν Σαλμαν, 21 καὶ Σαλμαν ἐγέννησεν τὸν Βοος, καὶ Βοος ἐγέννησεν τὸν Ωβηδ, 22 καὶ Ωβηδ ἐγέννησεν τὸν Ιεσσαι, καὶ Ιεσσαι ἐγέννησεν τὸν Δαυιδ.

**1. Chron. 3,5–24:** 5 Καὶ οὗτοι ἐτέχθησαν αὐτῷ (*sc.* Δαυιδ) ἐν Ιερουσαλημ· Σαμαα, Σωβαβ, Ναθαν καὶ Σαλωμων, τέσσαρες τῇ Βηρσαβεε θυγατρὶ Αμιηλ, 6 καὶ Ιβααρ καὶ Ελισαμα καὶ Ελιφαλετ 7 καὶ Ναγε καὶ Ναφαγ καὶ Ιανουε 8 καὶ Ελισαμα καὶ Ελιαδα καὶ Ελιφαλετ, ἐννέα. 9 πάντες υἱοὶ Δαυιδ πλὴν τῶν υἱῶν τῶν παλλακῶν, καὶ Θημαρ ἀδελφὴ αὐτῶν. 10 Υἱοὶ Σαλωμων· Ροβοαμ, Αβια υἱὸς αὐτοῦ, Ασα υἱὸς αὐτοῦ, Ιωσαφατ υἱὸς αὐτοῦ, 11 Ιωραμ υἱὸς αὐτοῦ, Οχοζια υἱὸς αὐτοῦ, Ιωας υἱὸς αὐτοῦ, 12 Αμασιας υἱὸς αὐτοῦ, Αζαρια υἱὸς αὐτοῦ, Ιωαθαν υἱὸς αὐτοῦ, 13 Αχαζ υἱὸς αὐτοῦ, Εζεκιας υἱὸς αὐτοῦ, Μανασσης υἱὸς αὐτοῦ, 14 Αμων υἱὸς αὐτοῦ, Ιωσια υἱὸς αὐτοῦ. 15 καὶ υἱοὶ Ιωσια· πρωτότοκος Ιωαναν, ὁ δεύτερος Ιωακιμ, ὁ τρίτος Σεδεκια, ὁ τέταρτος Σαλουμ. 16 καὶ υἱοὶ Ιωακιμ· Ιεχονιας υἱὸς αὐτοῦ, Σεδεκιας υἱὸς αὐτοῦ. 17 καὶ υἱοὶ Ιεχονια-ασιρ· Σαλαθιηλ υἱὸς αὐτοῦ, 18 Μελχιραμ καὶ Φαδαιας καὶ Σανεσαρ καὶ Ιεκεμια καὶ Ωσαμω καὶ Δενεθι. 19 καὶ υἱοὶ Σαλαθιηλ· Ζοροβαβελ καὶ Σεμεϊ. καὶ υἱοὶ Ζοροβαβελ· Μοσολλαμος καὶ Ανανια, καὶ Σαλωμιθ ἀδελφὴ αὐτῶν, 20 καὶ Ασουβε καὶ Οολ καὶ Βαραχια καὶ Ασαδια καὶ Ασοβαεσδ, πέντε. 21 καὶ υἱοὶ Ανανια· Φαλλετια, καὶ Ισαια υἱὸς αὐτοῦ, Ραφαια υἱὸς αὐτοῦ, Ορνα υἱὸς αὐτοῦ, Αβδια υἱὸς αὐτοῦ, Σεχενια υἱὸς αὐτοῦ. 22 καὶ υἱὸς Σεχενια· Σαμαια. καὶ υἱοὶ Σαμαια· Χαττους καὶ Ιωηλ καὶ Μαρι καὶ Νωαδια καὶ Σαφαθ, ἕξ. 23 καὶ υἱοὶ Νωαδια· Ελιθεναν καὶ Εζεκια καὶ Εζρικαμ, τρεῖς. 24 καὶ υἱοὶ Ελιθεναν· Οδουια καὶ Ελιασιβ καὶ Φαλαια καὶ Ακουν καὶ Ιωαναν καὶ Δαλαια καὶ Ανανι, ἑπτά.

---

**Luk.: 23-38** □ *v. p. 7*

---

*77/78* cf Rm 5,14; 1Cor 15,22.45-49; Act 17,26.31 ‖ *83sqq cf 5-17 (Mt). 43-55 (Lc)* ‖ *91sqq cf 9-17 (Mt). 43-53 (Lc)* ‖ *99sqq cf 18-35 (Mt). 21-42 (Lc)*

## 7. Geburt Jesu

**Christi nativitas** **The Birth of Jesus**

| Matth. 1,18-25 | Mark. | Luk. 2,1-7 | Joh. |
|---|---|---|---|
| 18 Τοῦ δὲ ⸂Ἰησοῦ Χριστοῦ⸃ ἡ ⸀γένεσις οὕτως ἦν. μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος | | *(nr. 5 1,57-80 p. 6)* 1 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. 2 αὕτη ⸆ ἀπογραφὴ ⸉πρώτη ἐγένετο⸊ ἡγεμονεύοντος | |

---

**Matth.: 18** ⸂*2 1* B ¦ *1* W ¦ *2 pc* latt sy^s.c; Ir | ⸀γεννησις L *f*13 33. 892. 1006. 1506 𝔐; Ir Or Epiph ¦ *txt* 𝔓1 ℵ B C W Z Δ Θ *f*1 *pc*; Eus
**Luk.: 2** ⸆η ℵ2 A C L W Ξ Ψ *f*1.13 33. 892. 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ* B D Θ 0177. 565. 700 *pc* | ⸉ℵ* (D)

---

*1-21 (Mt)* cf Jdc 13,1sqq; 1Sm 1,1sqq ‖ *1 (Mt)* cf Gn 31,13; Rth 2,11; Lc 1,14; *cf 9 (Lc)* ‖ *1 (Lc)* cf Act 17,7 ‖ *1sq (Lc) cf 53sq* ‖ *2 (Lc)* cf Act 5,37 ‖ *3 (Mt) cf 9 (Mt). 14 (Mt). 24*